ΣΕΙ. θές νυν τὸν ἀγκῶν᾽ εὐρύθμως, κᾆτ᾽ ἔκπιε,
ὥσπερ μ᾽ ὁρᾷς πίνοντα χὤσπερ οὐκέτι.
ΚΥ. ἆ ἆ, τί δράσεις; ΣΕΙ. ἡδέως ἠμύστισα.
— — — — — — — — —
ΚΥ. λάβ᾽, ὦ ξέν᾽, αὐτὸς οἰνοχόος τέ μοι γενοῦ.
ΟΔ. γιγνώσκεται γοῦν ἡ ἄμπελος τἠμῇ χερί.
ΚΥ. φέρ᾽ ἔγχεόν νυν. ΟΔ. ἐγχέω, σίγα μόνον.
ΚΥ. χαλεπὸν τόδ᾽ εἶπας, ὅστις ἂν πίῃ πολύν.
ΟΔ. ἰδοὺ λαβὼν ἔκπιθι καὶ μηδὲν λίπῃς.
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῷ πώματι.
ΚΥ. παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.
ΟΔ. κἂν μὲν σπάσῃς γε δαιτὶ πρὸς πολλῇ πολύν,
τέγξας ἄδιψον νηδύν, εἰς ὕπνον βαλεῖ·
ἢν δ᾽ ἐκλίπῃς τι, ξηρανεῖ σ᾽ ὁ Βάκχιος.
ΚΥ. ἰοὺ ἰού,
ὡς ἐξένευσα μόγις· ἄκρατος ἡ χάρις.
ὁ δ᾽ οὐρανός μοι συμμεμιγμένος δοκεῖ
τῇ γῇ φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
λεύσσω τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
οὐκ ἂν φιλήσαιμ᾽· αἱ Χάριτες πειρῶσί με.
ἅλις Γανυμήδην τόνδ᾽ ἔχων ἀναπαύσομαι
κάλλιστα νὴ τὰς Χάριτας. ἥδομαι δέ πως
τοῖς παιδικοῖσι μᾶλλον ἢ τοῖς θήλεσιν.
ΣΕΙ. ἐγὼ γὰρ ὁ Διός εἰμι Γανυμήδης, Κύκλωψ;
ΚΥ. ναὶ μὰ Δί᾽, ὃν ἁρπάζω γ᾽ ἐγὼ ᾽κ τοῦ Δαρδάνου.
ΣΕΙ. ἀπόλωλα, παῖδες· σχέτλια πείσομαι κακά.
ΧΟ. μέμφει τον ἐραστὴν κἀντρυφᾷς πεπωκότα;
ΣΕΙ. οἴμοι· πικρότατον οἶνον ὄψομαι τάχα.
ΟΔ. ἄγε δή, Διονύσου παῖδες, εὐγενῆ τέκνα,
ἔνδον μὲν ἁνήρ· τῷ δ᾽ ὕπνῳ παρειμένος
τάχ᾽ ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.
δαλὸς δ᾽ ἔσωθεν αὐλίων ὠθεῖ καπνόν.

---

564. *οὐκέτι*] Nauckius, *οὐκ ἐμέ* libri. 566. *λάβ᾽ ὦ — τέ μοι*] Dobraeus, *λαβών — γέ μου* libri. 569. *πίῃ*] *πίνῃ* libri. 571. *σπῶντα*] Casaubonus, *σιγῶντα* libri. 573. *σπάσῃς*] Dobraeus, *σπάσῃ* libri. 574. *βαλεῖ*] Musgravius, *βαλεῖς* libri. 588. *κἀντρυφᾷς*] Casaubonus, *κἀντρυφαῖς* libri. 592. *φάρυγγος* libri.